κλύειν, ἀκοῦσαι. * *
* * * * * * * *
(φέρω δὲ) πλόκαμον Ἰνάχῳ θρεπτήριον,
τὸν δεύτερον δὲ τόνδε πενθητήριον
* * * * * * * *
οὐ γὰρ παρὼν ᾤμωξα σόν, πάτερ, μόρον
οὐδ' ἐξέτεινα χεῖρ' ἐπ' ἐκφορᾷ νεκροῦ.
* * * * * * * *
ἔα·
τί χρῆμα λεύσσω; τίς ποθ' ἥδ' ὁμήγυρις
στείχει γυναικῶν φάρεσιν μελαγχίμοις
πρέπουσα; ποίᾳ ξυμφορᾷ προσεικάσω;
πότερα δόμοισι πῆμα προσκυρεῖ νέον,
ἢ πατρὶ τὠμῷ τάσδ' ἐπεικάσας τύχω
χοὰς φερούσας νερτέροις μειλίγματα;
οὐδέν ποτ' ἄλλο· καὶ γὰρ Ἠλέκτραν δοκῶ
στείχειν ἀδελφὴν τήνδ' ἐμὴν πένθει λυγρῷ
πρέπουσαν. ὦ Ζεῦ, δός με τίσασθαι μόρον
πατρός, γενοῦ τε σύμμαχος θέλων ἐμοί.
Πυλάδη, σταθῶμεν ἐκποδών, ὡς ἂν σαφῶς
μάθω γυναικῶν ἥτις ἥδε προστροπή.

ΧΟΡΟΣ.

Str. 1. ἰαλτὸς ἐκ δόμων ἔβαν

leius, Mercurii esse admonens κηρύσσειν τοῖς νεκροῖς. Κηρύσσω tamen legitur Arist. Ran. 1172.

6. (φέρω δὲ) probabiliter supplent Erf. Pal.

9. ἐκφορὰν mss. ἐκφορᾷ Dind.

10. ἔα addidit Dind., coll. Pr. 298. Eur. Suppl. 92. Herc. 525. Or. 1573. etc.

13. δόμοις τι προσκυρεῖ ποταίνιον M. Schmidt. μειλίγμασιν mss. μειλίγματα Blom. Herm. Dind. etc.

15. φερούσας νερτέροις] Leg. φέρειν τοῖς (τῶν) —. Requiritur enim infinitivus. νερτέροις μειλίγματα] νερτέρων μειλίγματα aut νερτέροις δωρήματα conj. Weckl. Fortasse recte, sed cf. Pers. 612. ἅπερ νεκροῖσι μειλικτήρια.

17. στείχειν M. Rob. βλέπειν conj. Hart. ὁρᾶν Turn. Lacuna est in G. Ald. τὴν ἐμὴν] τήνδ' ἐμὴν Blom. ad Pers. 690. Recte. Cf. 731. 11.

19. γενοῦ δὲ] Leg. γενοῦ τε. θέλων ἐμοί] θέλοντί μοι Herw., coll. 522. θέλοντι δ', εἴπερ οἶσθ', ἐμοὶ φράσον τάδε.

22. δόμων ἰαλτὸς ἐξέβαν χοαῖς Keck. ἰαλτὸς ἐξέβαν δόμων χοὰς Weil. ἔβην M. (ut vid) Rob. ἔβαν Dind. Sic δαμίας 55. ἀνάγκαν 56. διαρρύδαν 68.